LICEO CLASSICO
DANTE ALIGHIERI
RAVENNA

# Piccolo Agone Placidiano

## IX edizione

**5 aprile 2017**

FONDAZIONE
CASSA DI RISPARMIO
DI RAVENNA

### I SEZIONE (IV Ginnasio)

**Disciplina militare dei Persiani**

*Autore di una monumentale* Γεωγραφία *in 17 libri (ma i suoi* Ἱστορικὰ Ὑπομνήματα, *andati perduti, ne contavano ben 43), Strabone di Amasea (circa 60 a.C. – 24 d. C.) si mostra interessato, ancor più che alla definizione topografica dei territori, ai popoli e alle culture che li caratterizzano. La trattazione sulla Persia, che all'epoca di Strabone coincideva con l'impero dei Parti, per secoli fierissimi avversari dei Romani, afferma una sostanziale continuità culturale e di tradizioni mantenuta nella regione attraverso le varie dominazioni.*

Ἀπὸ δὲ πέντε[1] ἐτῶν παιδεύονται τοξεύειν καὶ ἀκοντίζειν καὶ ἱππάζεσθαι, καὶ ποιμαίνειν δὲ καὶ ἀγραυλεῖν καὶ **καρποῖς ἀγρίοις** χρῆσθαι, τερμίνθῳ, δρυοβαλάνοις, ἀχράδι. Ἡ δὲ καθ᾽ ἡμέραν **δίαιτα ἄρτος** μετὰ τὸ **γυμνάσιον** καὶ μᾶζα καὶ κάρδαμον καὶ ἁλῶν χόνδρος καὶ κρέα ὀπτὰ ἢ ἑφθὰ ἐξ ὕδατος, ποτὸν δ᾽ ὕδωρ. Θηρεύουσι δὲ σαύνια ἀφ᾽ ἵππων βάλλοντες καὶ τοξεύματα καὶ **σφενδονῶντες**. Δείλης δὲ φυτουργεῖν καὶ ῥιζοτομεῖν ἀσκοῦσι καὶ ὁπλοποιεῖν καὶ λίνα καὶ ἄρκυς[2] φιλοτεχνεῖν. Οὐχ ἅπτονται δὲ τῶν θηρευμάτων οἱ παῖδες, ἀλλὰ **κομίζειν οἴκαδε ἔθος**. **Τίθεται** δ᾽ ὑπὸ τοῦ βασιλέως ἆθλα δρόμου καὶ τῶν ἄλλων τῶν ἐν τοῖς πεντάθλοις.
Στρατεύονται δὲ καὶ ἄρχουσιν ἀπὸ εἴκοσιν ἐτῶν ἕως πεντήκοντα πεζοί τε καὶ ἱππεῖς· ἀγορᾶς δὲ οὐχ ἅπτονται, οὔτε γὰρ πωλοῦσιν οὔτ' **ὠνοῦνται**. Ὁπλίζονται δὲ γέρρῳ ῥομβοειδεῖ,[3] παρὰ δὲ τὰς φαρέτρας σαγάρεις[4] ἔχουσι καὶ κοπίδας, περὶ δὲ τῇ κεφαλῇ **πίλημα** πυργωτόν, θώραξ δ' ἐστὶν **αὐτοῖς** φολιδωτός.

STRABONE, Γεωγραφία.

[1] Indeclinabile, come gli altri numerali presenti nel testo.
[2] Acc. plur. di ἄρκυς, -υος.
[3] Dat. sing. neutro di ῥομβοειδής, ές.
[4] Acc. plur. di σάγαρις, -εως.

**Questionario**

A. καρποῖς ἀγρίοις: come si spiega la presenza di questo caso?
B. δίαιτα ἄρτος: che termine è sottinteso? Scrivilo in greco.
C. γυμνάσιον: che cos'era nel mondo greco? Qual è la sua origine etimologica?
D. σφενδονῶντες: completa la declinazione in ogni caso, genere e numero.
E. κομίζειν οἴκαδε ἔθος: puoi descrivere la struttura sintattica di questa proposizione, eventualmente anche attraverso uno schema grafico, precisando gli elementi sottintesi?
F. Τίθεται: quale principio delle concordanze greche è applicato?
G. ὠνοῦνται: giustifica l'origine di questa terminazione.
H. πίλημα: scrivi l'intera declinazione.
I. αὐτοῖς: di che tipo di costruzione si tratta?
J. Puoi sintetizzare gli eventi principali che segnano il rapporto fra mondo greco e mondo persiano?

LICEO CLASSICO
DANTE ALIGHIERI
RAVENNA

# Piccolo Agone Placidiano

IX edizione

**5 aprile 2017**

FONDAZIONE
CASSA DI RISPARMIO
DI RAVENNA

## II SEZIONE (V Ginnasio)

### Il massacro di Tessalonica

*La* Cronografia *del monaco bizantino Teofane il Confessore (758- 818 ca.), che tratta annalisticamente il periodo dal 284 all'813, include un sintetico resoconto di un celebre episodio dell'età di Teodosio il grande: la strage di spettatori nell'ippodromo di Tessalonica (390). Si trattò della vendetta imperiale contro l'uccisione in una sommossa del governatore Boterico; i Tessalonicesi, già irritati dall'acquartieramento (*μητάτα*) dell'esercito in città, non avevano tollerato la prolungata detenzione di un popolare auriga, accusato di atti licenziosi verso un servetto di Boterico. Ma al di là del cruento fatto di cronaca, è l'intervento della più carismatica figura ecclesiale d'Occidente a segnare un punto di non ritorno nei rapporti fra Chiesa e impero, ottenendo dall'augusto, oltre all'emanazione di una legge garantista, una clamorosa penitenza pubblica.*

Ἐπιστρατεύσαντος Θεοδοσίου κατὰ Εὐγενίου τοῦ τυράννου καὶ κατελθόντος ἐν Θεσσαλονίκῃ μετὰ τοῦ στρατοῦ αὐτοῦ καὶ εἰσελθόντος ἐν τῇ πόλει, ἐταράχθη[1] ἡ πόλις διὰ τὰ μητάτα τοῦ στρατοῦ καὶ διὰ πρόφασιν ἡνιόχου καὶ τοῦ παιδὸς τοῦ ἐπάρχου· καὶ ὕβρισαν τὸν βασιλέα καὶ τὸν ἔπαρχον ἐφόνευσαν. Τοῦ δὲ βασιλέως **μακροθυμήσαντος** πρὸς βραχὺ καὶ τὸν λαὸν κατασιγήσαντος, ἱππικὸν **γενέσθαι** ἐκέλευσεν· καὶ συναχθέντων[2] τῶν λαῶν καὶ τῶν δήμων εἰς τὴν τοῦ ἱππικοῦ θέαν, ἐκέλευσε τὸν στρατὸν τοξεῦσαι αὐτούς· καὶ ἀπέθανον τοῦ λαοῦ χιλιάδες δεκαπέντε. **Ἐλθόντος** δὲ αὐτοῦ ἐν Μεδιολάνῳ, Ἀμβρόσιος ὁ ἐπίσκοπος ἐκώλυσεν αὐτὸν εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν. Ἐν δὲ τῇ τοῦ σωτῆρος γενεθλίῳ ἑορτῇ Ῥουφίνῳ μαγίστρῳ εἰς παράκλησιν **ἐλθόντι** δεινῶς ἐπέπληξεν Ἀμβρόσιος. Νόμον δὲ ἐκθεμένου Θεοδοσίου τοῖς καταδικαζομένοις θανάτῳ ἢ δημεύσει προθεσμίαν **λʹ** ἡμερῶν εἰς διάσκεψιν δίδοσθαι ἐξ ἐπιτροπῆς Ἀμβροσίου, τότε **προσεδέξατο** αὐτὸν εἰς τὴν ἐκκλησίαν ἔξωθεν τοῦ θυσιαστηρίου, καὶ οὐ κατὰ τὴν προτέραν συνήθειαν ἔσω· **ὅθεν** καὶ μέχρι νῦν καλῶς ἐκράτησε τὸ ἔθος ἔξω τοῦ θυσιαστηρίου τοὺς βασιλεῖς ἵστασθαι μετὰ τοῦ λαοῦ.

TEOFANE, Χρονογραφία.

[1] 3ª persona sing. ind. aoristo passivo di ταράσσω. [2] gen. plur. masch. part. aoristo passivo di συνάγω.

### Questionario

A. μακροθυμήσαντος: in che struttura è impiegato?
B. γενέσθαι: perché viene usato questo tempo verbale?
C. Ἐλθόντος: a che gruppo di verbi appartiene, dal punto di vista del tema? Ricordi gli altri?
D. ἐλθόντι: che valore ha questo participio?
E. λʹ: scrivi per esteso il numerale corrispondente, aiutandoti con il vocabolario.
F. προσεδέξατο: coniuga questo verbo all'ottativo aoristo medio in tutte le persone.
G. ὅθεν: di quale uso sintattico, comune anche in latino, si tratta?
H. Identifica una struttura chiastica presente nel testo.
I. Illustra l'importanza dell'età di Teodosio nell'evoluzione della politica religiosa imperiale.

# Piccolo Agone Placidiano

IX edizione

**5 aprile 2017**

**LICEO CLASSICO**
**DANTE ALIGHIERI**
**RAVENNA**

FONDAZIONE
CASSA DI RISPARMIO
DI RAVENNA

## III SEZIONE (I Liceo Classico)

### Identikit di Omero

*Il ruolo fondante dell'*Iliade *e dell'*Odissea *nella cultura letteraria greca, a fronte della nebulosa consistenza del loro autore, ha inevitabilmente propiziato la formazione di un genere biografico, quello delle* Vitae Homeri, *di cui sono pervenute una decina di versioni, che se non aggiungono molto di storicamente attendibile alla questione omerica, forniscono comunque materiale sulle molteplici tradizioni locali relative al leggendario aedo e sugli altri titoli a lui attribuiti. Fra le più interessanti è quella proveniente dalla perduta* Crestomazia, *un trattato di poetica attribuito a Eutichio Proclo, notabile della corte di Marco Aurelio.*

**Ἐπῶν** ποιηταὶ **γεγόνασι** πολλοί· τούτων δ' εἰσὶ κράτιστοι Ὅμηρος, Ἡσίοδος, Πείσανδρος, Πανύασσις, Ἀντίμαχος. **Ὅμηρος μὲν οὖν τίνων γονέων ἢ ποίας ἐγένετο πατρίδος οὐ ῥᾴδιον ἀποφήνασθαι**· οὔτε γὰρ **αὐτός** τι λελάληκεν, ἀλλ' οὐδὲ οἱ περὶ αὐτοῦ εἰπόντες συμπεφωνήκασιν, ἀλλ' ἐκ **τοῦ** μηδὲν ῥητῶς ἐμφαίνειν περὶ τούτων τὴν ποίησιν αὐτοῦ μετὰ πολλῆς ἀδείας ἕκαστος **οἷς** ἐβούλετο ἐχαρίσατο. Καὶ διὰ τοῦτο οἱ μὲν Κολοφώνιον αὐτὸν ἀνηγόρευσαν, οἱ δὲ Χῖον, οἱ δὲ Σμυρναῖον, οἱ δὲ Ἰήτην, ἄλλοι δὲ Κυμαῖον, καὶ καθόλου πᾶσα πόλις ἀντιποιεῖται τἀνδρός, ὅθεν εἰκότως ἂν κοσμοπολίτης **λέγοιτο**.

Φαίνεται δὲ γηραιὸς **ἐκλελοιπὼς** τὸν βίον· ἡ γὰρ ἀνυπέρβλητος ἀκρίβεια τῶν πραγμάτων προβεβηκυῖαν ἡλικίαν παρίστησι. Πολλὰ δὲ ἐπεληλυθὼς μέρη τῆς οἰκουμένης ἐκ τῆς πολυπειρίας τῶν τόπων εὑρίσκεται. Τούτῳ δὲ **προσυπονοητέον** καὶ πλούτου πολλὴν περιουσίαν γενέσθαι· αἱ γὰρ μακραὶ ἀποδημίαι πολλῶν δέονται ἀναλωμάτων, καὶ ταῦτα κατ' ἐκείνους τοὺς χρόνους οὔτε πάντων πλεομένων ἀκινδύνως, οὔτε ἐπιμισγομένων ἀλλήλοις πως τῶν ἀνθρώπων ῥᾳδίως. Γέγραφε δὲ ποιήσεις δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν, ἣν **Ξένων καὶ Ἑλλάνικος** ἀφαιροῦνται αὐτοῦ. Οἱ μέντοι γε ἀρχαῖοι καὶ **τὸν Κύκλον** ἀναφέρουσιν εἰς αὐτόν· προστιθέασι δὲ αὐτῷ καὶ παίγνιά τινα· Μαργίτην, Βατραχομαχίαν ἢ Μυομαχίαν, Κέρκωπας, Εἰς ξένους.

PROCLO, Ὁμήρου χρόνοι, βίος, χαρακτήρ, ἀναγραφὴ ποιημάτων.

### Questionario

A. Ἐπῶν: che cosa indica specificamente questo termine?
B. Ὅμηρος μὲν… ἀποφήνασθαι: illustra, a parole o con uno schema, la struttura sintattica.
C. τοῦ: che struttura regge?
D. οἷς: che pronome è sottinteso?
E. ἐκλελοιπὼς: con che funzione è impiegato?
F. προσυπονοητέον: in che struttura sintattica è impiegato?
G. Ξένων καὶ Ἑλλάνικος: che posizione sostenevano questi due filologi alessandrini?
H. τὸν Κύκλον: di che cosa si trattava?
I. Quale metodo utilizza l'autore per ricavare dati su Omero?

LICEO CLASSICO
DANTE ALIGHIERI
RAVENNA

# Piccolo Agone Placidiano

IX edizione

**5 aprile 2017**

FONDAZIONE
CASSA DI RISPARMIO
DI RAVENNA

## IV SEZIONE (II Liceo Classico)

**Uno *speculum principis* secondo Mecenate**

*Ispirandosi forse al dibattito a tre voci* (τριπολιτικὸς λόγος) *sulle forme di governo che Erodoto colloca alla vigilia dalla ascesa di Dario al trono di Persia, lo storico Dione Cassio (155-235) immagina che Ottaviano, al momento di decidere se restituire al senato e al popolo i poteri straordinari, si sia valso di un consulto con i fidati Marco Vipsanio Agrippa e Gaio Cilnio Mecenate, l'uno propenso a ripristinare un ordinamento repubblicano, l'altro favorevole a un dispotismo illuminato e soprattutto attento all'opinione pubblica.*

«Πῶς μὲν γὰρ οὐχ ὡς πατέρα, πῶς δ΄ οὐχ ὡς σωτῆρα καὶ προσόψονταί σε ἅπαντες καὶ φιλήσουσιν, ὅταν σε ὁρῶσι κόσμιον εὐβίοτον εὐπόλεμον εἰρηναῖον ὄντα, ὅταν μήθ΄ ὑβρίζῃς τι μήτε πλεονεκτῇς, ὅταν ἐκ τοῦ ὁμοίου σφίσι προσφέρῃ, καὶ μὴ **αὐτὸς** μὲν πλουτῇς τοὺς δ΄ ἄλλους ἀργυρολογῇς, μηδ΄ αὐτὸς μὲν τρυφᾷς τοὺς δ΄ ἄλλους ταλαιπωρῇς, μηδ΄ αὐτὸς μὲν ἀκολασταίνῃς τοὺς δ΄ ἄλλους νουθετῇς, ἀλλ΄ ἐς πάντα δὴ πάντως ὁμοιοτροπώτατα αὐτοῖς ζῇς; Ὥστ΄ αὐτὸς παρὰ σαυτῷ μέγα φυλακτήριον ἐν **τῷ** μηδένα ποτὲ ἀδικῆσαι ἔχων θάρσει, καὶ πίστευέ μοι λέγοντι ὅτι οὔτε μισηθήσῃ ποτὲ οὔτε ἐπιβουλευθήσῃ. Τούτου δὲ δὴ οὕτως ἔχοντος πᾶσά σε ἀνάγκη καὶ ἡδέως βιῶναι· τί μὲν γὰρ ἥδιον, τί δὲ εὐδαιμονέστερόν ἐστι τοῦ πάντων τῶν ἐν ἀνθρώποις ἀγαθῶν μετ΄ ἀρετῆς ἀπολαύοντα καὶ τοῖς ἄλλοις αὐτὰ διδόναι δύνασθαι;

Ταῦτά τε οὖν καὶ τἆλλα **πάνθ΄** ὅσα εἴρηκα ἐννοήσας **πείσθητί** μοι, καὶ μὴ πρόῃ τὴν τύχην, ἥτις σε ἐκ πάντων ἐπελέξατο καὶ προεστήσατο. Ὡς εἴ γε τὸ μὲν πρᾶγμα τὸ τῆς μοναρχίας αἱρῇ, τὸ δ΄ ὄνομα τὸ τῆς βασιλείας ὡς καὶ ἐπάρατον φοβῇ, τοῦτο μὲν μὴ προσλάβῃς, τῇ δὲ δὴ τοῦ Καίσαρος προσηγορίᾳ χρώμενος αὐτάρχει. Εἰ δ΄ οὖν καὶ ἄλλων τινῶν ἐπικλήσεων προσδέῃ, δώσουσι μέν σοι τὴν τοῦ αὐτοκράτορος, ὥσπερ καὶ τῷ πατρί σου **ἔδωκαν**, **σεβιοῦσι** δέ σε καὶ ἑτέρᾳ τινὶ προσρήσει, ὥστε σε πᾶν τὸ τῆς βασιλείας ἔργον ἄνευ τοῦ τῆς ἐπωνυμίας αὐτῆς ἐπιφθόνου καρποῦσθαι».

DIONE CASSIO, Ῥωμαϊκὴ Ἱστορία.

**Questionario**

A. αὐτὸς: a quale pronome latino corrisponde, qui?
B. τῷ: che funzione ha qui l'articolo?
C. πάνθ': puoi spiegare linguisticamente questa forma?
D. πείσθητι: analizza questa forma verbale.
E. ἔδωκαν: scrivi la forma alternativa.
F. σεβιοῦσι: analizza questa forma verbale, indentificandone la tipologia specifica.
G. Prendi in esame il lessico politico impiegato nell'ultimo paragrafo, con riferimento se possibile anche ai corrispondenti termini latini.
H. Illustra il ruolo di Mecenate nella politica culturale del suo tempo.